ἡ μετ' αὐλοῦ γινομένη βοή. τὸ πύθιον μέλος. ἔνθεν καὶ A πυθαύλης γίνεται. οὕτω δὲ ἔλεγον τὸν παιᾶνα. καὶ τοῦτο δὲ ἐκ πλέως. Χαῖρις ᾠδὴν.] ὡς αὐτομάτως ἐπιόντος αὐτοῦ ταῖς εὐωχίαις. ἦν δὲ ὁ Χαῖρις οὗτος κιθαρῳδὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις. φέρ' ἴδω κιθαρῳδὸς τίς κάκιστος ἐγένετο Πεισίου, Μέλης. μετὰ Μέλητα ἦν, ἔχ' ἀτρέμας ἐγ' ᾠδα Χαῖρις. ἔστι καὶ ἕτερος αὐλητὴς οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει. Παῦσαι σύ.] ἐκθεσις συστηματικὴ ἀμοιβαίας ἐξ περιόδους ἔχουσα. τῆς δὲ πρώτης στίχοι τρεῖς ἰαμβικοὶ ἀκατάληκτοι. καὶ ἐν ἐκθέσει ἕτερος ὁμοίως. ὑφ' ὃν παράγραφος. ἔξεισι δὲ ἡ ἱερέα καὶ αὐλητὴν ἔχων. Οὔπω κόρακ' εἶδον.] ἴσως ὡς μέλανα σκώπτει. ἔοικε δὲ ὁ αὐλητὴς διεσκευάσθαι εἰς κόρακα. φόρβιον δέ ἐστι, τὸ περικείμενον τῷ στόματι τοῦ αὐλητοῦ δέρμα, ἵνα μὴ σχισθῇ τὸ χεῖλος αὐτοῦ. Ἐμπεφορβιωμένον.] φορβειά ἐστιν ὁ χαλινός. Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶν τῆς Ὀλυμπιακῆς προσῳδίας, τὸ φορβειὰ διὰ τῆς ει διφθόγγου γράφεται καὶ ὀξυτόνως.

B

## ΣΤΡΟΦΗ κώλων ι'.

Ἱερ. Δράσω τάδ'. ἀλλὰ ποῦ 'στιν ὁ τὸ κανοῦν ἔχων;
Εὔχεσθε τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ
Καὶ τῷ ἰκτίνῳ τῷ ἑστιούχῳ
Καὶ ὄρνισιν ὀλυμπίοις καὶ ὀλυμπίῃσιν,
Πᾶσι καὶ πάσῃσιν.
C Ὦ σουνιέρακε χαῖρ' ἄναξ πελαργικέ.
Καὶ κύκνῳ πυθίῳ καὶ δηλίῳ.
Καὶ Λητοῖ ὀρτυγομήτρᾳ.
Καὶ Ἀρτέμιδι Ἀκαλανθίδι.
Οὐκέτι κολαινὶς, ἀλλ' ἀκαλανθὶς Ἄρτεμις.

## VERSIO membrorum decem.

SA. *Faciam hæc. sed vbi canistrum habens?*
*Supplicate Vestæ auili,*
*Et miluo vestem habenti:*
*Et auibus Olympijs, & Olympijs,*
*Omnibus & omnibus.*
*O sunierace salue rex Pelasgice.*
*Et cygno Pythio & Delio,*
*Et Latonæ perdicis matri,*
*Et Dianæ Acalanthidi.*
PI. *Non amplius colenis, sed acanthis Diana.*

Σχόλια. Δράσω τάδ' ἀλλά.] ἡ δευτέρα περίοδος κώλων καὶ στίχων ἐστὶ δέκα. ὧν ὁ πρῶτος ἰαμβικὸς τρίμετρος ἀκατάληκτος. τὸ β ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτων καὶ σπονδείου. τὸ γ ὅμοιον ἐξ ἐπιτρίτων καὶ αὐτὸ τρίμετρον βραχυκατάληκτον. τὸ τέταρτον ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ ε καὶ ς δίμετρα βραχυκατάληκτα τροχαϊκά. ὁ ζ ὅμοιος τῷ α', τὸν β ἔχων πόδα χορεῖον. τὸ η ὅμοιον τῷ γ. τὸ θ. ἀναπαιστικὸν ἐφθημιμερές. τὸ ι ἰωνικὸν ἀπὸ μείζονος τρίμετρον βραχυκατάληκτον. ἐν εἰσθέσει δὲ ἴαμβος τῷ πρώτῳ ὅμοιος ὑφ' ὃν παράγραφος. Τῇ Ἑστίᾳ τῇ ὀρνιθείῳ.] ἐμιμήσατο τὰ τῶν ἀνθρώπων ἤθη. καὶ γὰρ ἔθος ἀπὸ τῆς Ἑστίας ἀπάρχεσθαι ἐν ταῖς θυσίαις. ἔμιξε δὲ τὰ ἐπίθετα τῶν θεῶν τοῖς ὀρνέοις. Ἑστίᾳ ὀρνιθείῳ καὶ ἰκτίνῳ ἑστιούχῳ. Ὦ σουνιέρακε] ἐπεὶ περὶ ὀρνίθων ὁ λόγος, ἀντὶ τοῦ σουνιάρατε. φαίνεται δὲ εἶναι Ποσειδῶνος τὸ ἐπίθετον. καὶ Ἱππεῦσι. ὦ Δελφίνων μεδέων σουνιάρατε. παρὰ τὸ ἐν Σουνίῳ ἄκρῳ τῆς Ἀττικῆς τὰς εὐχὰς καὶ τὰς ἀρὰς δέχεσθαι. πελαργικὲ δὲ, ἀντὶ τοῦ πελασγικέ. ἅμα δ' ἴσως καὶ παρὰ τὸν πελαργόν. καὶ ὅτι ὁ Ποσειδῶν πελάγους ἔφορος. Οὐκέτι κολαινίς.] παρὰ τὴν D τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις ἡ κολαινὶς Ἄρτεμις. ἱερεὺς γὰρ ἂν, τετύχηκα τῆς κολαινίδος. φησὶ δὲ Ἑλλάνικος Κόλαινον Ἑρμοῦ ἀπόγονον ἐκ μαντείου ἱερὸν αὐτοῦ ἱδρύσασθαι κολαινίδος, καὶ Φανόδημος ἐν τῇ δ. Εὐφρόνιος δέ φησιν ὅτι ἐν Ἀμαρύνθῳ ἡ κολαινίς. διὰ τὸ τὸν Ἀγαμέμνονα θῦσαι αὐτῇ ἐκ τοῦ κριοῦ κόλον. ἐπὶ ταύτης δὲ Καλλίμαχος λέγειν. τὴν ὁ Ἀγαμέμνων, ὡς ὁ μῦθος, εἵσατο. τῇ καὶ λείπουρα καὶ μονώπα θύεται. τοῦτο δὲ μήποτε ἐσχεδίασται. οἱ δὲ Μυρρινούσιοι, κολαινίδα ἐπονομάζουσι τὴν Ἄρτεμιν. ὥσπερ Πειραιεῖς ἐπὶ τὴν μουνυχίαν. Φιλιάται δὲ τὴν Βαυρωνίαν. Ἀκαλανθὶς Ἄρτεμις.] E ἡ κύων. παρὰ τὸ ἀγκάλλειν ἴσως τοὺς γνωρίμους, ὑλακτεῖν δὲ τοὺς ξένους. ὅθεν κύνα προσαγορεύει αὐτὴν Ἀριστοφάνης ἐν Εἰρήνῃ ἐπειγομένην τυφλὰ τίκτειν. ἔστι δὲ καὶ εἶδος ὀρνέου ἡ ἀκαλανθίς.

## ΣΤΡΟΦΗ κώλων ζ'.

F

Ἱερ. Καὶ φρυγίλῳ Σαβαζίῳ.
Καὶ στρουθῷ μεγάλῃ,
Μητρὶ θεῶν καὶ ἀνθρώπων.
Δέσποινα Κυβέλη. στρουθὲ, μῆτερ Κλεοκρίτου.
Διδόναι Νεφελοκοκκυγιεῦσιν,
Ὑγίειαν, καὶ σωτηρίαν,
Αὐτοῖσι καὶ Χίοισιν.
G Πει. Χίοισιν ἥσθην πανταχοῦ προσκειμένοις.

## VERSIO membrorum septem.

SA. *Et phrygilo Sabazio,*
*At passeri magnæ*
*Matri deorum & hominum,*
*Regina Cybele passer mater Cleocrinthi.*
*Dare illis auibus*
*sanitatem & salutem,*
*Ipsis & Chijs.*
PI. *Chijs lætatus sum vbiq; adiacentibus.*

Σχόλια. Καὶ φρυγίλῳ.] ἡ γ περίοδος κώλων καὶ στίχων ἐστὶν ἑπτά. ὧν τὸ α' χοριαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ β δακτυλικὸν πενθημιμερές. τὸ γ ἐφθημιμερές. τὸ δ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ ε ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον ἔχον τὸν β πόδα τρίβραχυν, εἰ δὲ βούλει ἰωνικὸν ἀπ' ἐλάττονος, τρίμετρον καταληκτικὸν ἐκ παίωνος. τὸ ς ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ ζ. ἰαμβικὸν ἐφθημιμερές. ἐν εἰσθέσει ἰαμ-